μασιν αὐτὸς ὢν, ἅττα δὴ ξυνελογισάμην καὶ ξυννενόηκα, καὶ δεδήλωκα πάντα ἑξῆς καὶ κατείρηκα, καὶ εἰσηγησάμην ἅττ' ἂν δοκοίην βέλτιστα· νομίζομεν δὲ οὐχ ὅσα νοοῦμεν αὐτοὶ βελτίω δὴ καὶ λυσιτελοῦντα, ἀλλ' ἅττα δὴ βασιλεῖ γίγνεται, καὶ πειθόμεθα πολυπραγμονοῦντες, ἔπειτ' οὐδὲν οὐδ' ἀνερευνώμενοι· καὶ μὴν ὅσα γε ἐπὶ τοῖς πράγμασιν αὐτοὶ ξυνορῶμεν, εἰσφέρειν νομίζομεν, ὡς νῦν γε καὶ αὐτὸς ἐν οἷς ἄρα νῦν εἰμί, διὰ τῶν μακρῶν σοι τούτων γραμμάτων ἐπῆλθόν τε καὶ διείλεγμαι, καὶ γεγένησαι δι' αὐτῶν μεθ' ἡμῶν, ἃ μείζω μὲν ἢ κατ' ἐπιστολὴν ὄντως ἐκτέταται, μείω δὲ ἢ ὡς ἂν βουλοίμην αὐτός, καὶ ἀκορέστως ἔχω τῆς σῆς ἐντυχίας, αὐτόθι τε δὴ παρὼν καὶ συνὼν ἥδιστα, καὶ μάλιστα νῦν γε ἐς τοσοῦτον ἀπόδημος, καὶ ἅμα τι κἀντεῦθεν ἡμῖν εἴη κέρδος τοῦ μήκους τῆς ἐπιστολῆς ταύτης εἰ τ' οὖν τοῦ βιβλίου διὰ τῆς σῆς σοφίας τε καὶ φιλίας.

---

## ΘΕΟΔΩΡΟΥ ΜΕΤΟΧΙΤΟΥ

### ΧΡΥΣΟΒΟΥΛΛΟΥ ΠΡΟΟΙΜΙΟΝ.

† Ὡς ἀληθῶς ἄρ' ἔοικεν ἡ τῶν ἀπογόνων τοῖς γεννήτορσι διαδοχὴ μὴ μόνον τρόπον τινὰ ἀθανατίζειν τὴν φύσιν, ὡς ὁ παλαιὸς λόγος, καὶ καθάπαξ ἀζήμιον παρατείνειν καὶ συντηρεῖν, ἀλλ' ἡνίκα δὴ καὶ τὰ ἑκατέρωθεν προδήλως ἀπαντᾷ σύμφωνα καὶ περιφανῆ καὶ λαμπρὰ τῇ τύχῃ ἢ ἀρετῇ δή τινι καὶ ἀνδραγαθίᾳ κατ' ἀνθρώπους, ὡς νομίζεται τῇ χρήσει τοῦ βίου, ἢ καὶ κατ' ἄμφω, καὶ τὴν εὔκλειαν αὐτὴν ἀθανατίζει τὰ κατὰ τοὺς εὖ βιοῦντας οὕτως ἑξῆς τοῖς βιώσασιν εὖ ἤδη πρότερον προγόνοις· καὶ θαυμάσαι γε καὶ λίαν εἰκότως ἄν τις καὶ ἅμα εὖ μάλ' ἥδοιτο τῇ ξυντυχίᾳ ταύτῃ προσέχων τὸν νοῦν, καὶ ὥσπερ ἐν τῷ παγκοίνῳ τῷδε τοῦ βίου θεάτρῳ βέλτιστ' ἐμπανηγυρίζων καὶ ἥδιστα τῇ ἐποπτείᾳ ταύτῃ τῆς καλλίστης συν-



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΚΡΗΤΗΣ